ΧΟ. καὶ μὴν πρὸ χειρῶν αἵδε σοι σκυλευμάτων
Φρυγίων φέρουσι κόσμον ἐξάπτειν νεκρῷ.
ΕΚ. ὦ τέκνον, οὐχ ἵπποισι νικήσαντά σε
οὐδ᾽ ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους
τιμῶσιν, οὐκ εἰς πλησμονὰς θηρώμενοι,
μήτηρ πατρός σοι προστίθησ᾽ ἀγάλματα
τῶν σῶν ποτ᾽ ὄντων· νῦν δέ σ᾽ ἡ θεοστυγὴς
ἀφείλεθ᾽ Ἑλένη, πρὸς δὲ καὶ ψυχὴν σέθεν
ἔκτεινε καὶ πάντ᾽ οἶκον ἐξαπώλεσεν.
ΧΟ. ἒ ἔ, φρενῶν
ἔθιγες ἔθιγες· ὦ μέγας ἐμοί ποτ᾽ ὢν
ἀνάκτωρ πόλεως.
ΕΚ. ἃ δ᾽ ἐν γάμοις ἐχρῆν σε προσθέσθαι χροῒ
Ἀσιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ᾽ ἐξάπτω χροός.
σύ τ᾽, ὦ ποτ᾽ οὖσα καλλίνικε μυρίων
μῆτερ τροπαίων, Ἕκτορος φίλον σάκος,
στεφανοῦ· θανεῖ γὰρ οὐ θανοῦσα σὺν νεκρῷ·
ἐπεὶ σὲ πολλῷ μᾶλλον ἢ τὰ τοῦ σοφοῦ
κακοῦ τ᾽ Ὀδυσσέως ἄξιον τιμᾶν ὅπλα.
ΧΟ. αἰαῖ αἰαῖ,
πικρὸν ὄδυρμα γαῖά σ᾽, ὦ
τέκνον, δέξεται.
στέναξον, μᾶτερ, ΕΚ. αἰαῖ.
ΧΟ. νεκρῶν ἴακχον. ΕΚ. οἴμοι μοι.
ΧΟ. οἴμοι δῆτα σῶν ἀλάστων κακῶν.
ΕΚ. τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ᾽ ἰάσομαι,
τλήμων ἰατρός, ὄνομ᾽ ἔχουσα, τἄργα δ᾽ οὔ·
τὰ δ᾽ ἐν νεκροῖσι φροντιεῖ πατὴρ σέθεν.
ΧΟ. ἄρασσ᾽ ἄρασσε χειρὶ κρᾶτα
πιτύλους διδοῦσα χειρός, ἰώ μοί μοι.
ΕΚ. ὦ φίλταται γυναῖκες.

---

1220. om. BC 1229. *στέναζε B* 1230. *νεκρόν B* 1234. *φροντίσει* (*φροντίει B*) libri, *φροντιεῖ* Christus pat. 1383.